## 07 IANUARIE
## PORFIRIE EGUMENUL

# PARACLISUL SF.PROROC IOAN BOTEZĂTORUL, ÎNAINTE-MERGĂTORUL DOMNULUI



## PARACLISIERUL PE IANUARIE-GR



# Πορφυρίου Ηγουμένου ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΣΤΟΝ ΑΓΙΟ ΙΩΑΝΝΗ ΤΟΝ ΠΡΟΔΡΟΜΟ

**Ὁ ἱερεύς**: *Εὐλογητός …*

**Ὁ Ἀναγνώστης**: *Κύριε,εἰσάκουσον…* Ψαλμὸς 142

**Θεός Κύριος… (δ΄)**

Ἦχος δ'. *Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.*

**Ὁ** τοῦ Κυρίου μεγαλώνυμος δείκτης* καί τοῦ Χριστοῦ μου ἡ φωνή ἐν ἐρήμῳ* χριστομιμήτως πάριδε, πανάγιε*, ἅπαντα τά πταίσματα* μοναστῶν τῆς σῆς μάνδρας* ῥῦε ἐκ παντοίων δέ*, Ἰωάννη, κινδύνων* τόν προσκαλοῦντα, μάκαρ, σέ θερμῶς* ἵνα ἐν κρίσει σωθῶ, ὁ οἰκέτης σου.

*Δόξα…*

**Μ**νήμη δικαίου μετ' ἐγκωμίων*. Σοί δέ ἀρκέσῃ ἡ μαρτυρία τοῦ Κυρίου, Πρόδρομε*. Ἀνεδείχθης γάρ ὄντως καί προφητῶν σεβασμιώτερος* ὅτι καί ἐν ρείθροις βαπτίσαι κατηξιώθης τόν κηρυττόμενον*. Ὅθεν τῆςἀληθείας ὑπεραθλήσας*, χαίρων*, εὐηγγελίσω καί τοῖς ἐν Ἅδῃ* Θεόν* φανερωθέντα ἐν σαρκί*, τόν αἴροντατήν ἁμαρτίαν τοῦ κόσμου* καί παρέχοντα ἡμῖν* τό μέγα ἔλεος.

*Καί νῦν…* Θεοτοκίον.

**Ο**ὐ σιωπήσωμέν ποτε, Θεοτόκε*, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι*· εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα* τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων*; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους*; Οὐκἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ*· σούς γάρ δούλους σώζεις ἀεί* ἐκ παντοίων δεινῶν.

Ψαλμὸς Ν΄ (50)

ᾨδή α'. Ἦχος πλ. δ'. *Ὑγράν διοδεύσας.*

*Βαπτιστά τοῦ Χριστοῦ, πρέσβευε ὑπέρ ἡμῶν.*

**Δ**ακτύλου σου φάλαγγα προσκυνῶν* πόθῳ, Ἰωάννη*, σοί κραυγάζω εἰλικρινῶς φάλαγγας δαιμόνων πολεμούντων* τήν ταπεινήν μου καρδίαν διάλυσον.

*Βαπτιστά τοῦ Χριστοῦ...*

**Χ**ειμών με ταράττει τῶν λογισμῶν,* πνιγμός ἀθυμίας,* τρικυμία τῶν λογισμῶν*. Εἰρήνευσον, μάκαρ, τήν ψυχήν μου* ὡς Ἀλιάκμονος ρεῦμα καί σῶσόν με.

*Δόξα Πατρί...*

**Ὡ**ς ἔδειξας πάλαι σοῖς μαθηταῖς* τόν Κύριον, ἔρχου* τῆς ἐλπίδος ὡς ὁδηγός*, ἵνα, Ἰωάννη, τόν σωτῆρα* καί λυτρωτήν μου δεχθῶ, ὁ ταλαίπωρος.

*Καί νῦν...*

**Ν**οσῶ καί τό σῶμα καί τήν ψυχήν*, Παρθένε, μή ἔχων* σωτηρίαν, ὁ δυστυχής*, διό, Παναγία, καίπροβάλλω* τόν Βαπτιστήν τοῦ Υἱοῦ σου μεσίτην μου.

ᾨδή γ'. *Οὐρανίας ἁψίδος.*

*Βαπτιστά τοῦ Χριστοῦ...*

**Τ**ήν Μονήν σου ὡς σκέπην* καί ἐνδιαίτημα ἔδωκας* πάντων μοναχῶν τῇ χορείᾳ*, Τίμιε Πρόδρομε*, διό καί χαίροντες*, ἀναβοῶμεν σοί Χαῖρε*, μοναζόντων ὄρχαμε*, φύλαξ καί καύχημα.

*Βαπτιστά τοῦ Χριστοῦ…*

**Ἀ**λιάκμονος κοίτη* τοῖς ἀσκηταῖς γέγονε* καὶ τῶν κοινοβίων τῷ κλήρῳ* χώρα σωτήριος* τῷ παραδείγματι*τῷ σῷ ἑπόμενοι πάντως* ὡς θεῖον σέ ἔχοντες* πρόδρομον, Πρόδρομε.

*Δόξα Πατρί…*

**Π**οίαν γέφυραν εὕρω* ἵνα σωθῶ, Πρόδρομε*, εἰ μή καταφύγω βοῶν σοί* πόνῳ καί δάκρυσιν* καί οὕτω λάβοιμι* τάς σάς πρεσβείας ὡς λύτρον* καί Χριστῷ βοήσομαι* ἥμαρτον, σῶσόν με.

*Καὶ νῦν…*

**Ἐ**λισσάβετ τόν γόνον* ἐρημιτῶν πρώταρχον* ἔχοντες διδάσκαλον θεῖον* Σέ, Παναγία μου*, καθικετεύομεν* Ἐμμανουήλ ὡς μητέρα* τοῦτον ἐκδυσώπησον* ὑπέρ τῶν τέκνων σου.

**Δ**ιάσωσον*, Πρόδρομε, πάσης ἀνάγκης*, τούς προστρέχοντας τῇ θείᾳ σου σκέπῃ*, ἐκ παντός κινδύνου* καί πάσης δυσχερείας.

**Ἐ**πίβλεψον* ἐν εὐμενείᾳ πανύμνητε, Θεοτόκε*, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν*, καὶ ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Τὸ κάθισμα. Ἦχος δ’. *Ταχὺ προκατάλαβε.*

**Ὡ**ς θεῖον θησαύρισμα, ἐγκεκρυμμένον τῇ γῇ*, Χριστὸς ἀπεκάλυψε, τὴν κεφαλήν σου ἡμῖν*, Προφῆτα καὶΠρόδρομε*. Πάντες οὖν συνελθόντες*, ἐν τῇ ταύτης εὑρέσει*, ἄσμασι θεηγόροις*, τὸν Σωτῆρα ὑμνοῦμεν*,τὸν σώζοντα ἡμᾶς ἐκ φθορᾶς* ταῖς ἱκεσίαις σου.

ᾨδὴ δ’. *Εἰσακήκοα Κύριε.*

*Βαπτιστὰ τοῦ Χριστοῦ…*

**Τ**ῶν παθῶν μου τὸν τάραχον* ὁ τὸν εἰρηνάρχην βαπτίσας Κύριον* ταῖς πρεσβείαις σου κατεύνασον* καὶ εἰς γῆν πρᾳέων με ἐνόρμισον.

*Βαπτιστὰ τοῦ Χριστοῦ…*

**Ε**ὐσπλαγχνίας τὸ πέλαγος* ὁ ἀνυποστόλως κηρύξας ἅπασι* καθικέτευε, σοῦ δέομαι*, τῶν βασάνων ὅπως λυτρωθείημεν.

*Δόξα Πατρί…*

**Ἀ**πολαύοντες, Πρόδρομε*, τῶν σῶν δωρημάτων, εὐχαριστήριον* ἀναμέλπομέν σοι ἄσματα* οἱ τῆς σῆς τρυφῶντες ἀντιλήψεως.

*Καὶ νῦν…*

**Ο**ἱ ἐλπίδα καὶ στήριγμα* καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον* κεκτημένοι σε, πανύμνητε*, δυσχερείας πάσης ἐκλυτρούμεθα.

Ὠδή ε’. *Φώτισον ἡμᾶς.*

*Βαπτιστά τοῦ Χριστοῦ…*

**Π**λήρωσον ἡμῶν* τάς αἰτήσεις, τῶν τιμώντων σε*, ὁ τοῦ ἀδύτου τήν ὑφήλιον φωτός* πληρώσας* τῷκηρύγματί σου, Πρόδρομε.

*Βαπτιστά τοῦ Χριστοῦ…*

**Λ**ύτρωσον ἡμᾶς* ἐκ κινδύνων, βαπτιστά τοῦ Χριστοῦ* ὁ αἰωνίαν κηρύξας λύτρωσιν* καὶ τήν εἰρήνην* τήν πάντα νοῦν ὑπερέχουσαν.

*Δόξα Πατρί…*

**Λ**ύσον τῶν δεινῶν* νοσημάτων τήν ἀσθένειαν*, τῶν πρεσβειῶν τῶν σῶν τῇ θερμότητι*, ὁ τόν Σωτῆρα* βαπτίσαι φανείς ἐπάξιος.

*Καὶ νῦν…*

**Ἴ**ασαι, Ἁγνή*, τῶν παθῶν μου τήν ἀσθένειαν* ἐπισκοπῆς σου ἀξιώσασα* καὶ τήν ὑγείαν* ταῖς πρεσβείαις σου παράσχου μοι.

Ὠδή στ’. *Τήν δέησιν ἐκχεῶ.*

*Βαπτιστά τοῦ Χριστοῦ…*

**Τ**ό μέλι* τῆς ἡσυχίας δώρησαι* τοῖς τιμῶσι σέ, Κυρίου προφῆτα*, τούς πονηρᾶς* ἐκφυγόντας κακίας*, καὶκοσμικῆς τρικυμίας διάσωσον*· ἵνα ὑμνῶμεν, βαπτιστά*, παρρησίαν τήν σήν πρός τόν φίλον σου.

*Βαπτιστά τοῦ Χριστοῦ…*

**Ἀ**κρόδρυα* ἀρετῶν μοί, ἅγιε*, Ἰωάννη, τόν σόν δοῦλον πεινῶντα*, ὥσπερ τροφήν* καθαρᾶς ἡσυχίας*

χορταστικήν μοί παράσχου, τρισόλβιε*, ἐν τῇ ἐρήμῳ γάρ καί σύ* δι' αὐτῶν διετρέφεσο, Πρόδρομε.

*Δόξα Πατρί...*

**Π**ικρίᾳ* τῶν ἡδονῶν βυθίζομαι*, καὶ ἐκ λάκκου κατωτάτου βοῶ σοί*· ἀλλά φωνήν* οὐκ ἰσχύω ἐκβάλλειν* ἐνἀσιτίᾳ καλῶν τυραννούμενος*. Ἐπάκουσόν μου, Βαπτιστά*, ἵνα σωτῆρα σέ ἔχω ἐν βίῳ μου.

*Καὶ νῦν...*

**Τ**άς φρένας* τοῦ σοῦ ἱκέτου τείχισον*, Θεοτόκε, τῇ θερμῇ σου πρεσβείᾳ*, ἵνα κἀγώ* σύν τοῖς ἄλλοις σου τέκνοις* ὑμνολογῶ καί δοξάζω σέ, Ἄχραντε* ὥσπερ μητέρα τοῦ Χριστοῦ* καί Κυρίου μου, πάναγνε Δέσποινα.

**Δ**ιάσωσον*, Πρόδρομε, πάσης ἀνάγκης*, τούς προστρέχοντας τῇ θείᾳ σου σκέπῃ*, ἐκ παντός κινδύνου* καί πάσης δυσχερείας.

**Ἄ**χραντε*, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως*, ἐπ' ἐσχάτων τῶν ἡμερῶν* τεκοῦσα δυσώπησον*, ὡςἔχουσα* μητρικήν παρρησίαν.

Κοντάκιον. Ἦχος β'. *Τά ἄνω ζητῶν.*

Προφῆτα Θεοῦ* καί Πρόδρομε τῆς χάριτος*, τήν κάραν τήν σήν* ὡς ῥόδον ἱερώτατον*, ἐκ τῆς γῆς εὑράμενοι*, τάς ἰάσεις πάντοτε λαμβάνομεν*· καί γάρ πάλιν ὡς πρότερον*, ἐν κόσμῳ* κηρύττεις τήν μετάνοιαν.

Καὶ εὐθύς τό **Προκείμενον**. Ἦχος δ'.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεί κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. (ἐκ δευτέρου)

Στίχος: *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.*

Ὁ Ἱερεύς· Ἐκ τοῦ κατά Ματθαῖον ἁγίου Εὐαγγελίου, τὸ Ἀνάγνωσμα. Πρόσχωμεν.

Ὁ Ἱερεύς· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; Εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθῆναι ἔξω καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. Ὑμεῖςἐστε τὸ φῶς τοῦ κόσμου. οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον καὶτιθέασι αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸφῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦνόμου ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Δόξα Πατρί...*Ταῖς τοῦ Βαπτιστοῦ Σου, πρεσβείαις*...

Καί νῦν ...*Ταῖς τῆς Θεοτόκου πρεσβείαις*...

*Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός σου*...

Ἦχος πλ. β'. *Ὅλην ἀποθέμενοι.*

Προφῆτα καί Πρόδρομε*, ψυχῆς ἐμῆς θυμηδία*, δέξαι, πανακήρατε*, τήν προσφερομένην σοι* ἱκεσίαν μου*, θλίψις γάρ ἔχει με*, καί δεινά παντοῖα*, Ἰωάννη μεγαλώνυμε*, σῶσον τόν δοῦλόν σου*, καί χειρός τοῦ δράκοντος μέ ἐξάρπασον*, καί τούτου τῶν παγίδων νῦν*, ὡς εὐσυμπαθής ἐλευθέρωσον*, πρεσβείαν προσάγων*, καθ' ὅ κοινός μεσίτης πρός Θεόν*, καί πάσης νόσου ἐκλύτρωσαι*, τόν αὐτοκατάκριτον.

Ὁ Ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν...

ᾨδή ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας.*

*Βαπτιστά τοῦ Χριστοῦ*...

**Τ**ῆς Ἀδάμ ἁμαρτίας* τό χειρόγραφον, Λόγον τόν διαῤῥήξαντα*, ἐν ῥείθροις Ἰορδάνου* κραυγάζωνὑπεδέξω*, Ἰωάννη πανεύφημε*· ὁ τῶν πατέρων ἡμῶν* Θεός εὐλογητός εἶ.

*Βαπτιστά τοῦ Χριστοῦ*...

**Ἐ**ν ἐρήμῳ βιώσας*, τά θηρία παθῶν μου, μάκαρ, εἰρήνευσον*, καί γάρ ἐν τῇ ἐρήμῳ* τά πάθη κατατρύχει* μοναζόντων τά τάγματα*, ἵνα βοῶ ἐκτενῶς*· Κυρίου μου τήν χάριν.

*Δόξα Πατρί*...

**Θ**ησαυρόν σωτηρίας* καί γαλήνιον ὅρμον καί ἐν κινδύνοις ταχύν* προστάτην τοῖς καλοῦσιν* εἰδότες σε

βοῶμεν* τό κλυδώνιον στόρεσον* ἀσθενειῶν, Βαπτιστά*, θερμαῖς σου ἱκεσίαις.

*Καί νῦν...*

**Μ**ετάνοιαν πταισμάτων* καί ψυχῆς ἰατρείαν, θεογεννήτρια*, ὡς πόθῳ προσιόντι* τῇ θείᾳ σου πρεσβείᾳ*, τῷ οἰκέτῃ σου δώρησαι*, ἡ τόν Σωτῆρα Χριστόν* ἡμῖν ἀποτεκοῦσα.

ᾨδή η’. *Τόν Βασιλέα.*

*Βαπτιστά τοῦ Χριστοῦ...*

**Π**λήν σου, Προφῆτα*, πρός τόν Χριστόν δεομένῳ* ἄλλον φύλακα, ὁ δοῦλος σου οὐκ ἔχω*, ὅθεν ἱκετεύω* ἐν λόγοις ἀλογίας.

*Βαπτιστά τοῦ Χριστοῦ...*

**Δ**ιά δακτύλου* τῆς δεξιᾶς σου, Προφῆτα*, φανερεῖς μοί* ὁδόν πρός σωτηρίαν*, ὅθεν σέ δοξάζω*, ὡς φίλον τοῦ Χριστοῦ μου.

*Εὐλογοῦμεν Πατέρα Υἱόν καί Ἅγιον Πνεῦμα, τόν Κύριον.*

**Ὥ**σπερ ὁ λύχνος* τοῦ φωτός τοῦ ἀδύτου*, Ἰωάννη*, φώτισόν μου τό σκότος*, ἵνα φωτισθῶσιν* νοός μου αἱαἰσθήσεις.

*Καί νῦν...*

**Ὡ**ς ἐν σπηλαίῳ* τῆς ταπεινῆς μου καρδίας*, ἱκετεύω, Παρθένε, τόν σόν τόκον*, ὅθεν δώρησαί μοι* τό φέγγος τοῦ Υἱοῦ σου.

*Αἰνοῦμεν, εὐλογοῦμεν καί προσκυνοῦμεν τόν Κύριον.*

Τόν Βασιλέα* τῶν οὐρανῶν ὅν ὑμνοῦσι* στρατιαί τῶν ἀγγέλων ὑμνεῖτε* καί ὑπερυψοῦτε* Χριστόν εἰς τούς αἰῶνας.

ᾨδή θ’. *Κυρίως Θεοτόκου.*

*Βαπτιστά τοῦ Χριστοῦ...*

Ὡς ναῦς ἐν τρικυμίᾳ* πελαγιζομένη* ἡ ταπεινή μου καρδία χειμάζεται*. Μή καταλίπῃς με μόνον,* Κυρίου Πρόδρομε.

*Βαπτιστά τοῦ Χριστοῦ...*

Ὡς μέσος δύο κόσμων*, θεῖε Ἰωάννη*, πρός τήν Καινήν Διαθήκην ὁδήγησον* τήν ταπεινήν μου καρδίαν*, φίλε, καί σῶσόν με.

*Δόξα Πατρί...*

Τριάς, πανσθενουργίᾳ* μή ἐγκαταλείπῃς* τῶν μοναστῶν τάς χορείας χειμάζεσθαι* ἐκ πειρασμῶν πολυτρόπων* τοῦ πολεμήτορος.

*Καί νῦν...*

Ὡς ναῦς ἀγαλλομένη* χάριτος πελάγει* ἡ ταπεινή μου καρδία ἀγάλλεται* καί σέ προβάλλει μεσίτην* Χριστῷ καί πρόδρομον.

Ὁ ἱερεύς θυμιᾶ καί συγχρόνως ψάλλει Τό *Ἄξιον ἐστίν ...*

Καί οἱ ψάλται τά Μεγαλυνάρια.

Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ,

τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνωμεν.

**Ἡ** φωνή τοῦ Λόγου, ὁ Βαπτιστής*, τοῦ Φωτός ὁ λύχνος*, Ἁλιάκμονος ταῖς ροαῖς* σκήνωμα καί μάνδραν* τῶν μοναστῶν πληθύνει* καί εὐλογεῖ πλουσίως* πάντα δεόμενον.

**Δ**εῦτε προσκυνήσωμεν εὐλαβῶς* δάκτυλον τόν θεῖον* ἐκ παντίμου τῆς δεξιᾶς* τοῦ θείου Προδρόμου* καίβαπτιστοῦ Κυρίου*, καί χάριν ἀρυόμεθα* πλουσιόδωρον.

**Π**άτερ Διονύσιε, θαυμαστῶς* σέ Τριάς Ἁγία* κατελάμπρυνεν εὐθαλῶς* λόγοις τε καί τρόποις* διδάσκοντα σά τέκνα* καί μοναστῶν τόν κλῆρον*, Σκήτεως καύχημα.

**Ο**ἱ Τρεισκαιδεκάριθμοι ἀσκηταί* χαίρετε, πατέρες* καί διδάσκαλοι εὐσεβεῖς*, Μονῆς τῆς ἐνταῦθα* οἱ θεῖοι πολιοῦχοι*, προστάται μοναζόντων* πάντων καί στήριγμα.

**Δ**εῦτε μετά πόθου καί χαρμονῆς* θεῖον χαρακτῆρα* τῆς Παρθένου υἱοπρεπῶς* τῆς Σκητιωτίσσης* σύν πᾶσι τοῖς ὁσίοις* κυκλώσωμεν καί δρόσον* λάβωμεν χάριτος.

**Δ**έσποινα καί μήτηρ τοῦ λυτρωτοῦ*, δέξαι παρακλήσεις* ἀναξίων σῶν ἱκετῶν*, ἵνα μεσιτεύσῃς* πρός τόνἐκ σοῦ τεχθέντα*· ὦ, Δέσποινα τοῦ κόσμου*, γενοῦ μεσίτρια.

**Π**ᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί*, Πρόδρομε Κυρίου*, Ἀποστόλων ἡ δωδεκάς*, οἱ ἅγιοι πάντες*, μετά τῆς Θεοτόκου*, ποιήσατε πρεσβείαν* εἰς τό σωθῆναι ἡμᾶς.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος β’.

**Μ**νήμη δικαίου μετ’ ἐγκωμίων·* σοί δε ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου, Πρόδρομε*· ἀνεδείχθης γάρ ὄντως καί προφητῶν σεβασμιώτερος*, ὅτι καί ἐν ρείθροις βαπτίσαι* κατηξιώθης τόν κηρυττόμενον. * Ὅθεν τῆςἀληθείας ὑπεραθλήσας*, χαίρων*, εὐηγγελίσω καί τοῖς ἐν Ἅδῃ* Θεὸν φανερωθέντα ἐν σαρκί *τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου* καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Ἐν δέ τῇ ἀπολύσει προσκυνοῦντες, λέγομεν τό παρόν.

Ἦχος β’. *Ὅτε ἐκ τοῦ ξύλου σέ νεκρόν.*

**Φ**ίλε* τοῦ Χριστοῦ μου καί φωνή* ἡ ἐν τῇ ἐρήμῳ βοῶσα* μετανοεῖτε, λαοί*, δίδαξον μετάνοιαν καμοί τῷδούλῳ σου*, ἱκετεύω σε, Πρόδρομε*, Χριστῷ γάρ προστρέχων*, δάκρυα προχέομαι* καί πόνον ἄμετρον* μή μέ ἀπορρίψῃ εἰς τέλος* κρίσεως ἐν ὥρᾳ, προφῆτα*, Σέ νῦν προσαιτοῦμαι, ὁ ταλαίπωρος.

**Ὥ**σπερ* Ἀλιάκμονος ῥοαί* κάμπον Ἠμαθίας πληροῦσι* παντός καρποῦ εὐγενοῦς* οὕτω καταπλούτισον τήν πενιχράν μου ψυχήν* ἱκετεύω σε, Πρόδρομε*, ἐν ρείθροις δακρύων*, ἄρδευσον τοῦ δούλου σου*, χοῦν σκληροκάρδιον* ἵνα καθαρᾷ διανοίᾳ* ὄψωμαι Χριστοῦ μου τήν δόξαν* καί ἐν ὥρᾳ κρίσεως λυτρώσῃς με.

**Δ**έσποινα*, πρόσδεξαι* τάς δεήσεις τῶν δούλων σου* καί λύτρωσαι ἡμᾶς* ἀπό πάσης ἀνάγκης καί θλίψεως.

**Τ**ήν πᾶσαν ἐλπίδα μου* εἰς σέ ἀνατίθημι*, μῆτερ τοῦ Θεοῦ*, φύλαξόν με* ὑπό τήν σκέπην σου.